# TEZAUR LITURGIC

## 7 AUGUST
## +HRISOSTOM II,
## MITROPOLITUL ARGOSULUI

# PARACLISUL SF.CUVIOS TEODOSIE DE LA ARGOS

**ARGOS,1998**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΙΑΜΑΤΙΚΟΝ
# ΘΕΟΔΟΣΙΟΝ ΑΡΓΟΛΙΔΟΣ

**Ποίημα του Μητροπολίτου Αργολίδος Χρυσοστόμου Β**

Ο Ιερεύς: Ευλογητός ο Θεός.

Ο Αναγνώστης: Κύριε εισάκουσον της προσευχής μου.

Οι Ψάλται: Θεός Κύριος, ως συνήθως, και το εξής:

Ήχος δ’. Ο υψωθείς εν τω Σταυρώ.

Θεοδοσίω τω κλεινώ νυν προσδράμωμεν, οι εν ανάγκαις και δεινοίς θαλαττούμενοι, εν στεναγμοίς δεόμενοι αυτού˙ πρόφθασον, βοήθησον Ιερώτατε Πάτερ˙ ρύσαι πειρασμών ημάς και παντοίων κινδύνων. Σαις γαρ πρεσβείαις, ταις προς τον Θεόν, τους πάντας σώζεις, εκ πάσης περιστάσεως.

Δόξα. Το αυτό.Και νυν. Θεοτοκίον.

Ου σιωπήσωμεν ποτέ Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι ειμή γαρ συ προΐστασο πρεσβεύουσα, τις ημάς ερρύσατο εκ τοσούτων κινδύνων, τις δε διεφύλαξεν έως νυν ελευθέρους. Ουκ αποστώμεν Δέσποινα εκ σου˙ σους γαρ δούλους σώζεις αεί εκ παντοίων δεινών.

Ο Ν’ ψαλμός.

Κανών. Ωδή α’. Ήχος πλ. δ’ Υγράν διοδεύσας.

Σαρκός απολαύσεις υπεριδών προς το όρος, Μάκαρ, ανυψώθης των αρετών˙ δι’ ο από βίου ηξιώθης θαυματουργείν ώ κλεινέ Θεοδόσιε.

Νόμον του Κυρίου ηγαπηκώς, πάντα τα του κόσμου απηρνήθης ανδροπρεπώς. Θυσία δε γέγονας εν πάσι, τω Κυρίω αγνή και ευπρόσδεκτος.

Δόξα.

Άσμασι και ύμνοις νυν οι πιστοί, στέφομεν σην μνήμην Σου δεόμενοι ευλαβώς˙ διάσωσον πάντας εκ κινδύνων ταις σαις λιταίς προς τον Κύριον Όσιε.

Και νυν.

Νοσούντα το σώμα και την ψυχήν, επισκοπής θείας και προνοίας της παρά σου, αξίωσον μόνη Θεομήτορ, ως αγαθή αγαθού τε λοχεύτρια.

Ωδή γ’. Ουρανίας αψίδος.

Ικετεύομεν Πάτερ ζωήν ημών φύλαξον, εκ παντός κινδύνου και νόσου και περιστάσεων˙ Συ γαρ προς Κύριον, των αγαθών την αιτίαν, πάντοτε δεόμενος σώζεις τους κάμνοντας.

Προστασίας Σου, Μάκαρ, της ισχυράς δέομαι˙ λύτρωσαι κινδύνων παντοίων τους Σοι προσφεύγοντας˙ Συ γαρ το δύνασθαι παρά Κυρίου εκτήσω, του ποιείν θαυμάσια τοις δεομένοις Σου.

Δόξα.

Προστασίαν και σκέπην η Ση Μονή κέκτηται, εκ δεινών παντοίων, κινδύνων και περιστάσεων˙ πάντα γαρ δύναται ως δυνατός εν ισχύϊ, τω Χριστώ δεόμενος αεί Μακάριε.

Και νυν.

Χαλεπαίς αρρωστίαις και νοσεροίς πάθεσιν, εξεταζομένω Παρθένε, Συ μοι βοήθησον, των ιαμάτων γαρ, ανελλιπή Σε γινώσκω θησαυρόν πανάμωμε, τον αδαπάνητον.

Διάσωσον από κινδύνων σην ποίμνην Όσιε Πάτερ, ότι πόθω αγίω εις Σε καταφεύγομεν, ως σπεύδοντα εις πιστών σωτηρίαν.

Επίβλεψον εν ευμενεία, πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν και ίασαι της ψυχής μου το άλγος.

Κάθισμα.Ήχος β’. Πρεσβεία θερμή.

Ελέους πηγή και θείον καταφύγιον, υπάρχεις ημών Παμμάκαρ Θεοδόσιε και πιστών απάντων προστάτης και

πρόμαχος, διώκων πάντα πειρασμόν, ταις προς Θεόν πρεσβείαις Σου.

Ωδή δ'. Εισακήκοα Κύριε.

Των δεινών μου την λύτρωσιν, ταις λιταίς Σου δέομαι Θεοδόσιε και τους πόνους διασκέδασον και αμαρτημάτων την συγχώρησιν.

Ευσπλαγχνίας το πέλαγος, επικαλουμένω του Παντοκράτορος, βοηθείας ήν νυν δέομαι, τύχοιμι, λιταίς Σου Θεοδόσιε.

Δόξα.

Απολαύοντες Όσιε των σων δωρημάτων ευχαριστήρια αναμέλπομεν προς Κύριον, ιαμάτων χάριν Σε πλουτίσαντα.

Και νυν.

Η ελπίδα και στήριγμα και της σωτηρίας τείχος ακράδαντον, κεκτημένοι Σε Πανύμνητε, δυσχερείας πάσης εκλυτρούμεθα.

Ωδή ε' . Φώτισον ημάς.

Έμπλησον φωτός ευσεβείας την ζωήν ημών, ταις προς Θεόν λιταίς Σου Όσιε, ίνα το σκότος της γεέννης αποφύγωμεν.

Λύτρωσαι ημάς εκ κινδύνων Θεοδόσιε, ως παρρησίαν έχων προς τον Θεόν και την Μονήν σου διαφύλαττε αλώβητον.

Δόξα.

Πάντων προς Θεόν μνημονεύεις Ιερώτατε των αιτουμένων την χάριν σου και πάντας προφθάνεις εκ δεινών παντοίων και θλίψεων.

Και νυν.

Ίασαι Αγνή των παθών μου την ασθένειαν, επισκοπής σου αξιώσασα και την υγείαν τη πρεσβεία Σου παράσχου μοι.

Ωδή στ'. Την δέησιν εκχεώ προς Κύριον.

Ενίσχυσον την αθλίαν ψυχήν μου, του ευρείν εν τω προσώπω σου Πάτερ τον οδηγόν, εν πορεία του βίου, των πειρασμών εις παγίδας ελκόντων με και πρέσβευε διηνεκώς εκ φθοράς των παθών μου ρυσθήναι με.

Προστάτιν Σε της ζωής επίσταμαι και φρουρόν θαλαττευόντων εν βίω και ιατρόν, διαλύοντα νόσους, την θεραπείαν νοσούσι παρέχοντα˙ σην χάριν ουν νυν εκζητών Θεοδόσιε Μάκαρ σωθήσομαι.

Δόξα.

Παρέχεις τοις νοσούσι την χάριν, του ιάσθαι νοσημάτων παντοίων και πειρασμών διαλύεις παγίδας, ταις σαις λιταίς Θεοδόσιε Όσιε˙ απάλλαξον ουν και ημάς των δεινών προσβολών του αλάστορος.

Και νυν.

Εν κλίνη νυν ασθενών κατάκειμαι και ουκ έστιν ίασις τη σαρκί μου, άλλ' η Θεόν και Σωτήρα του κόσμου και τον λυτήρα των νόσων κυήσασα˙ Σου δέομαι της αγαθής εκ φθοράς νοσημάτων ανάστησον.

Διάσωσον από κινδύνων σην ποίμνην Όσιε Πάτερ, ότι πόθω αγίω εις Σε καταφεύγομεν, ως σπεύδοντα εις πιστών σωτηρίαν.

Άχραντε η δια λόγου τον Λόγον ανερμηνεύτως επ' εσχάτων των ημερών τεκούσα δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

Κοντάκιον. Ήχος δ'. Επεφάνης σήμερον.

Προστασίαν άμαχον των εν ανάγκαις, ιατρόν γινώσκομεν ασθενειών θεραπευτήν, ώ Θεοδόσιε Όσιε, τους σους ικέτας, περίσωζε τη σκέπη Σου.

Αναβαθμοί δ' ήχου. Προκείμενον.

Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Ευαγγέλιον. Εκ του κατά Ματθαίον. (Ματθ. ια'. 26-30)

Είπεν ο Κύριος τοις εαυτού Μαθηταίς˙ Πάντα μοι παρεδόθη υπό του Πατρός μου˙ και ουδείς επιγινώσκει τον

Υιόν, ει μη ο Πατήρ˙ ουδέ τον Πατέρα τις επιγινώσκει, ει μη ο Υιός, και ώ εάν βούληται ο Υιός αποκαλύψαι. Δεύτε προς με πάντες οι κοπιώντες και πεφορτισμένοι, καγώ αναπαύσω υμάς. Άρατε τον ζυγόν μου εφ' υμάς, και μάθετε απ' εμού ότι πράος ειμί και ταπεινός τη καρδία˙ και ευρήσετε ανάπαυσιν ταις ψυχαίς υμών. Ο γαρ ζυγός μου χρηστός, και το φορτίον μου ελαφρόν εστί.

Δόξα.

Ταις του Σου Οσίου πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν.

Ταις της Θεοτόκου πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Ιδιόμελον. Ήχος πλ. β'.

Στίχ. Ελεήμον, ελέησόν με ο Θεός κατά το μέγα έλεός σου…

Θαυματουργέ και ιαματικέ Θεοδόσιε, των μοναστών υπογραμμός και της μονής σου κλέος, μη διαλείπης πρεσβεύειν προς Κύριον υπέρ ημών των τελούντων την ιεράν και  πανσέβαστον μνήμην Σου.

Ωδή ζ’. Οι εκ της Ιουδαίας.

Την ημών προστασίαν ανευρόντες εν Σοι καταφεύγομεν άπαντες, νοσούσι γαρ παρέχεις, την ίασιν σωμάτων, τοις κραυγάζουσιν Όσιε. Βοήθει σκέπε ημάς, σην χάριν αιτουμένους.

Την βρύσην των θαυμάτων, ήν κεκτήμεθα Πάτερ εν Σοι καυχώμεθα, Ναυπλίου τε τα τέκνα και πάσης Αργολίδος εκκλησίας το άθροισμα, νυν ευφημούντες πιστώς ρύσαι παντός κινδύνου.

Δόξα.

Υμνούμέν Σου Τρισμάκαρ, τον βίον εν νηστείαις όν διήνυσας και προσευχαίς οσίαις, ασκήσει τε και πόνω, ας ο Κύριος έστεψεν˙ ο των Πατέρων ημών Θεός τε και Δεσπότης.

Και νυν.

Σωμάτων μαλακίας και ψυχών αρρωστίας θεογεννήτρια, των πόθω προσιόντων, τη σκέπη Σου τη θεία θεραπεύειν αξίωσον˙ η τον Σωτήρα Χριστόν ημίν αποτεκούσα.

Ωδή η’. Τον βασιλέα των Ουρανών.

Τους προσιόντας και αιτουμένους σην χάριν μη παρίδης, Θεοδόσιε Πάτερ και ανευφημούντας τον πάναγνόν Σου βίον.

Διέλυσας του εχθρού τας ενέδρας, καθηλώσας εν ερήμω το σώμα, όθεν ετιμήθης παρά Θεού αξίως.

Δόξα.

Εν θλίψεσι και ανάγκαις υπάρχων, σην αιτούμαι συναντίληψιν Πάτερ και Σου μεγαλύνω τους ιερούς αγώνας.

Και νυν.

Των πειρασμών Συ τας προσβολάς εκδιώκεις και παθών τας εφόδους Παρθένε˙ όθεν Σε υμνούμεν εις πάντας τους αιώνας.

Ωδή θ’. Κυρίως Θεοτόκον.

Ζωήν την των δακρύων εζήλωσας Θεόφρον και σαυτόν τη ασκήσει υπέταξας˙ τη ευωδία Χριστού τανύν ευωδιάζων.

Ταις θλίψεσι του βίου, τρυχόμενος ο τάλας σην αιτούμαι οξείαν αντίληψιν, ίνα ευφημώ Σε σωθείς, τον ευεργέτην.

Δόξα.

Θεού δόσις υπάρχεις, Μονής Σου ο προστάτης, Θεοδόσιε Πάτερ τρισένδοξε˙ τους Σε ευφημούντας διάσωζε λιταίς σου.

Και νυν.

Φωτός Σου ταις ακτίσι, λάμπρυνον Παρθένε, το ζοφερόν της αγνοίας διώκουσα, τους ευσεβώς Θεοτόκον Σε καταγγέλλοντας.

Το άξιόν εστίν ως αληθώς, και τα Μεγαλυνάρια του Αγίου.

Πάντα τα θελήματα της σαρκός, υπέταξας, Πάτερ, εν νηστείαις και προσευχαίς, τω ηγαπημένω Χριστώ τω Σταυρωθέντι, συσταυρωθείς εν βίω τω Σε λυτρώσαντι.

Χαίροις Αργολίδος ο θησαυρός και των Αθηναίων γόνος τίμιος και φρουρός χαίροις της Ελλάδος ο Μέγας αντιλήπτωρ, οσίων τε το κλέος, ώ Θεοδόσιε.

Σώζε καταφεύγοντας επί Σε, τους υπό πνευμάτων οχλουμένους των πονηρών και τους εν ανάγκαις και θλίψεσι του βίου, ενίσχυε λιταίς σου, ώ Θεοδόσιε.

Θείε Θεοδόσιε των πιστών, ρύστης και προστάτης, Μοναζόντων υπογραμμός˙ περίσωζε, σκέπε, σην ποίμνην εκ κινδύνων και την Μονήν σου Μάκαρ φύλαττε άτρωτον.

Φρούρει τε και σκέπε την σην Μονήν, εκ παντός κινδύνου προσβολών τε του πονηρού, Πατήρ γαρ υπάρχεις αυτής και ο προστάτης και καύχημα και κλέος, ώ Θεοδόσιε.

Σκέπε και περίσωζε τας ψυχάς των εν τη Μονή σου ασκουμένων Μοναστριών, εχουσών Σε Μάκαρ υπογραμμόν εν βίω και θείαν προστασίαν ώ Θεοδόσιε.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου Αποστόλων η δωδεκάς, οι Άγιοι πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

Το Τρισάγιον. Απολυτίκιον του Αγίου. Ήχος πλ. α’. Τον Συνάναρχον Λόγον.

Αργολίδος εδείχθης δόξα και καύχημα, Αθηναίων το κλέος και θείον βλάστημα, Θεοδόσιε Πατήρ ημών όσιε, των οσίων καλλονή, και ιαμάτων η πηγή, και Πέτρου του Ιεράρχου, συνόμιλος και προστάτης των αιτουμένων ιλασμόν και μέγα έλεος.

Δέησις υπέρ των τελούντων την παράκλησιν και Απόλυσις. Είτα το˙

Πάντων, προστατεύεις Αγαθή, των καταφευγόντων εν πίστει, τη κραταιά σου χειρί˙ άλλην γαρ ούκ έχομεν, αμαρτωλοί προς Θεόν, εκ κινδύνοις και θλίψεσιν, αεί

μεσιτείαν, οι κατακαμπτόμενοι, υπό πταισμάτων πολλών. Μήτερ του Θεού του Υψίστου˙ όθεν σοι προσπίπτομεν˙ ρύσαι, πάσης περιστάσεως τους δούλους σου.

